ἡδί **ονι**	ἡδί **ονι**	ἡδί **οσι(ν)**	ἡδί **οσι**
ἡδί **ονα** or ἡδί **ω**	ἥδῑ **ον**	ἡδί **ονας** or ἡδί **ους**	ἡδί **ονα** or ἡδί **ω**

254. Genitive of Comparison. A comparative, unless accompanied by ἤ, is followed by the genitive. This is called the *genitive of comparison:*[1]

Κῦρος νεώτερος ἦν τοῦ ἀδελφοῦ *Cyrus was younger than his brother.*

If ἤ is used, the persons or things compared usually are in the same case, and always so when used with the same verb (compare the Latin construction with and without *quam*):

τούτῳ οὖν ἐπίστευον μᾶλλον ἢ ἐκείνῳ *I therefore trusted this man more than that man.*

[1] What uses of the genitive have you now had?

255. VOCABULARY

αἰσχρός, -ά, -όν: *shameful, ugly.* Opposite of **καλός**.

αἴτιος, -ᾱ, -ον: *responsible, accountable;* with G., *responsible for.*

ἀ-πορέω, -ήσω, ἠ-πόρησα: *be at a loss, be troubled, be helpless.* Cf. **πορεία, πορεύομαι.**

ἀ-πορία, -ᾱς, ἡ: *difficulty, helplessness, lack.*

ἄ-πορος, -ον: *helpless, needy, impassable.*

δεινός, -ή, -όν: *to be feared, terrible, skilful, clever.* Cf. **ἔδεισα.** DINOSAURUS

ὅτι, adv. with superl. to denote the highest degree possible. Cf. Lat. *quam.*

πιστός, -ή, -όν: *faithful, loyal, trusty.*

φοβερός, -ᾱ, -όν: *fearful, frightful.* Cf. **φόβος.**

ὡς, adv. with superl. to denote the highest degree possible. Cf. Lat. *quam.*

256. EXERCISES

(*a*) Translate:

1. τοῦτο ἔστιν αἴσχιστον, ὅτι ὑμεῖς αἴτιοι ἐγένεσθε τῆς φυγῆς. 2. πολὺν δὲ χρῡσὸν ὑπ-έσχετο αὐτοῖς, ὥστε ἦσαν ὅτι προθῡμότατοι. 3. ὁπότε δὲ κατὰ τῶν ὀρῶν πορευοίμεθα, τὰ δεινότατα ἐπάσχομεν. 4. ἀλλὰ νῦν οἱ πρὸ ταύτης τῆς μάχης ἀ-πορήσαντες ὡς φοβερώτατοι ἐγένοντο τοῖς πολεμίοις. 5. ταῖς ταχίσταις τριήρεσιν ἐξ-έσται διώκειν τε καὶ ἑλεῖν τοὺς αἰσχρούς. 6. νομίζει τοὺς Ἕλληνας πιστοτέρους εἶναι τῶν βαρβάρων. 7. Σωκράτης δίκην ἐφίλει μᾶλλον ἢ σωτηρίᾱν. 8. οἱ δὲ ποταμοὶ ἄ-πορoι ἔσονται ἡμῖν, ἢν τὰς γεφῦρᾱς λῡ́σωσιν.

(*b*) Complete:

1. αἱ τριήρεις θᾶττ— ἦσαν τ— πλοι— (plural). 2. τῶν δ' οὖν Ἑλλήνων Κῦρος ἐπ-εμελεῖτο μᾶλλον ἢ τ— βαρβαρ—. 3. ἀλλ' ὀλίγοι ἄνθρωποί εἰσιν ὅτι εὐδαιμ—. 4. οἱ γὰρ πολλοὶ φοβερ—τατοι γίγνονται ἐπὰν σίτου —— (linking verb) ἀπορίᾱ.

(*c*) Write in Greek:

1. It is necessary to incur great danger in behalf of Greece. 2. Whomever the majority choose as leader, we shall gladly follow. 3. If the triremes were not swift, the commander would have saved few men. 4. Great was the breadth of the wall. 5. We might ask our friends for many things.

FRIGHTFUL MEDUSA

This very archaic bit of sculpture shows Perseus cutting off her head.

257. WISEST OF ALL

σοφὸς **Σοφοκλῆς**, *σοφώτερος δ'* **Εὐρῑπίδης**,
ἀνδρῶν[1] *δὲ πάντων* **Σωκράτης** *σοφώτατος.*

Ancient Oracle, quoted by Suidas under *σοφός*.

258. ARISTOTLE ON FRIENDSHIP

ἐρωτηθεὶς (*being asked*) *τί ἐστι φίλος, ἔφη,* **Μία** (*one*) *ψῡχὴ* (*mind*, compare PSYCHOLOGY) *δύο σώμασιν* (*bodies*) *ἐν-οικοῦσα* (compare **οἰκία**).

Diogenes Laertius, V. 21.

ὦ φίλοι, οὐδεὶς (*no*) *φίλος.*

Ibid., V. 21.

ἐρωτηθεὶς πῶς ἂν τοῖς φίλοις προσ-φεροίμεθα (*behave*), *ἔφη,* **Ὡς** *ἂν εὐξαίμεθα αὐτοὺς ἡμῖν προσ-φέρεσθαι.*

Ibid., V. 21.

[1] *Of men.* Partitive genitive, denoting the whole of which a part is mentioned.

LESSON XLII

IRREGULAR COMPARISON

χαλεπὸν δὲ καὶ φιλῆσαι. — *And hard as well to love.*[1]

259. **Irregularities** occur in the comparison of a number of adjectives.[2]

POSITIVE	COMPARATIVE	SUPERLATIVE
ἀγαθός *good, brave,* etc.	ἀμείνων *better, braver*	ἄριστος *best, bravest,* etc. ARISTOCRAT.
	βελτίων morally *better*	βέλτιστος morally *best*
	κρείττων physically *stronger, preferable*	κράτιστος *strongest, best*
κακός *bad, ugly, cowardly*	κακίων	κάκιστος
	χείρων *meaner*	χείριστος
	ἥττων *weaker, inferior*	[ἧκιστα, adv.: *least, by no means*]
καλός *beautiful, noble*	καλλίων	κάλλιστος
μέγας *great, large*	μείζων	μέγιστος
μῑκρός *small*	μῑκρότερος	μῑκρότατος
	μείων; pl., *fewer*	
	ἐλάττων[3]	ἐλάχιστος
πολύς *much;* pl., *many*	πλείων or πλέων PLEONASM.	πλεῖστος

260. Some words lack a positive :

[πρό *before*]	πρότερος *former*	πρῶτος *first*
	ὕστερος *later, latter*	ὕστατος *last*

Inflect ἀμείνων (like ἡδίων), πρότερος, πλεῖστος.

[1] Anacreontic.

[2] Only the more common adjectives are here given.

[3] Serves also as comparative for ὀλίγος *little, few.*

261. Dative of Degree of Difference. The dative, when used with expressions of comparison, denotes the *degree of difference* between the persons or things compared. This is a variety of the dative of means (compare with the Latin ablative of degree of difference) : [1]

Κῦρος πολλῷ ἦν νεώτερος *Cyrus was much younger* (that is, *younger by much*).

262. **EXERCISES**

Ἀριστίων
A warrior of Marathon.

(*a*) Translate :

1. τοῦ δὲ ἀγαθοῦ πολίτου [2] ἐστὶ τὰ ἄριστα καὶ λέγειν καὶ πράττειν. 2. οὐκ ἐλάχιστόν ἐστι σοφίας μέρος σαυτὸν γιγνώσκειν. 3. ἐπορίσαντο δ' οὖν σῖτον ὀλίγῳ πλείω. 4. τούτους μέντοι τοὺς σταθμοὺς πολλῷ μακροτέρους ἐποίει. 5. ἡ δὲ γυνὴ προτέρᾳ Κύρου ὀκτὼ ἡμέραις ἦλθεν. 6. ἐνόμιζε δὲ τοὺς Ἕλληνας ἀμείνους εἶναι πολλῶν βαρβάρων. 7. τί κάλλιον ἢ ὑπὲρ τῆς πατρίδος ἀπο-θανεῖν; 8. ἀλλὰ σὺν μείζονι στρατιᾷ ἐπορεύετο ἢ ὡς ἐπ' ἐκείνους. 9. ἐκέλευσε τοὺς στρατηγοὺς τὰ ἐπιτήδεια λαβόντας ὡς πλεῖστα παρ-εῖναι. 10. οὗτοι οἱ ἵπποι μικρότεροι μὲν ἦσαν, κρείττονες δέ.

(*b*) Write in Greek :

1. The Greeks were more faithful. 2. If the women reach the wall, they will be very safe. 3. The orators became more clever

[1] What uses of the dative have you now had?

[2] A **possessive genitive** used in the predicate with *ἐστί* may denote the person whose *characteristic* it is to do what is indicated by the infinitive subject.

than the rest of the citizens. 4. The barbarians were as frightful as possible. 5. They found the road through the mountains more impassable than that (use article) along the river.

263. **ESSE QUAM VIDERI**

οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι [ἐ]θέλει.

Æschylus, *Seven against Thebes*, 592.

λίθοι μέγιστοι

These columns from the temple of Zeus at Olympia are the largest in Greece. At the base they measure seven and one-third feet in diameter. (For a general view of Olympia see page 153.)

264. **OPTIMISM**

ἔλεξε γάρ τις ὡς τὰ χείρονα
πλείω βροτοῖσίν (*to mortals*) ἐστι τῶν ἀμεινόνων·
ἐγὼ δὲ τούτοις ἀντίαν (*opposing*) γνώμην ἔχω,
πλείω τὰ χρηστὰ (*good things*) τῶν κακῶν εἶναι βροτοῖς.

Euripides, *Suppliants*, 196–199.

265. ΓΝΩΜΑΙ ΜΕΝΑΝΔΡΟΥ

εἶτ᾽ οὐ μέγιστός ἐστι τῶν θεῶν Ἔρως
καὶ τῑμιώτατός (*most precious*) γε τῶν πάντων πολύ;

ἆρ᾽ (= ἄρα) ἐστὶν ἀγαθῶν πᾶσι πλείστων ἀξίᾱ
ἡ σύνεσις (*intelligence*), ἂν ᾖ πρὸς τὰ βελτίω σοφή.

κρεῖττον ὀλίγ᾽ ἐστὶ χρήματ᾽ ἀν-υπόπτως (*honestly*) ἔχειν
ἢ πολλὰ φανερῶς (*openly*) ἃ μετ᾽ ὀνείδους (*reproach*) δεῖ λαβεῖν.

ἀεὶ κράτιστόν ἐστι τἀληθῆ (= τὰ ἀληθῆ) λέγειν.

266. RIGHT IS MIGHT

κρεῖττόν ἐστι μετ᾽ ὀλίγων ἀγαθῶν πρὸς πάντας τοὺς κακοὺς
ἢ μετὰ πολλῶν κακῶν πρὸς ὀλίγους ἀγαθοὺς μάχεσθαι.

Antisthenes, quoted by Diogenes Laertius, VI. 12.

A Greek Vase

LESSON XLIII

FORMATION AND COMPARISON OF ADVERBS

χαλεπώτερον δὲ πάντων ἀποτυγχάνειν φιλοῦντα.
But harder than all to love and lose.[1]

267. Adverbs may usually be formed by changing the ν of the genitive plural masculine of the adjective to ς. The accent remains as in the genitive plural. The comparative of the adverb is the neuter accusative singular of the comparative of the adjective; the superlative is the neuter accusative plural of the superlative of the adjective.

Positive	Comparative	Superlative
ἀσφαλῶς *safely, surely*	ἀσφαλέστερον	ἀσφαλέστατα
δικαίως *justly*	δικαιότερον	δικαιότατα
φοβερῶς *fearfully, frightfully*	φοβερώτερον	φοβερώτατα
ἡδέως *gladly*	ἥδιον	ἥδιστα
καλῶς *beautifully*	κάλλιον	κάλλιστα

Give the positive, comparative, and superlative of the adverbs corresponding to ἄξιος, μέγας, ἀληθής, ταχύς, κακός, δεινός.

268. Irregularities occur in the comparison of some adverbs.

ἐγγύς *near, nearly*	ἐγγύτερον or ἐγγυτέρω	ἐγγύτατα or ἐγγυτάτω
εὖ *well* (adv. of ἀγαθός)	ἄμεινον	ἄριστα
μάλα *very*	μᾶλλον *more, rather*	μάλιστα *most, certainly*
πολύ *much, by far*	πλεῖον or πλέον	πλεῖστα

[1] Anacreontic, concluding mottoes of XLI and XLII.

269. Cognate Accusative. A noun, adjective, or pronoun in the accusative may contain the *same idea as that of the verb.* This is called the *cognate accusative :*

μάχην μάχονται they are fighting a battle ;
τάδε ὑπ-έσχετο he made this promise (that is, *he promised this*) ;
τὴν ταχίστην (*ὁδὸν*) *πορεύεται he is proceeding* (*by*) *the quickest road.*

270. Adverbial Accusative.[1] Many accusatives lose all obvious relation in idea to the verb and serve as its *adverbial modifiers.* This is called the *adverbial accusative :*[2]

τὴν ταχίστην (*ὁδὸν*) *ἔπρᾱξαν ταῦτα they did this the quickest way ;*
τέλος ἦλθεν finally he came ;
τί ἦλθεν ; why did he come ?
θᾶττον πορεύεται ἢ ἡμεῖς he is proceeding more swiftly than we ;
τάχιστα πορεύεται he is proceeding most swiftly.

271. VOCABULARY

ἐπ-αινέω, ἐπ-αινέσω, ἐπ-ήνεσα : *praise.*
κρατέω, κρατήσω, ἐκράτησα : *overpower, conquer.* Cf. **κράτιστος,** DEMOCRATIC.
κράτος, -ους, τό : *power.*
ὄπισθεν, adv. : *from the rear, in the rear, behind.* Cf. **ἐντεῦθεν.**
πάνυ, adv. : *wholly, very.* Cf. **πᾶς.**
πρόσθεν, adv. : *from the front, in front, before.* Cf. **ὄπισθεν.**
ῥᾴδιος, -ᾱ, -ον : *easy.*
ῥῑ́πτω, ῥῑ́ψω, ἔρρῑψα : *throw, cast aside.*
στόμα, -ατος, τό : *mouth, van* (of an army).

272. EXERCISES

(*a*) Translate :

1. *ἐπεὶ γὰρ ἐγγύτερον ἐγένοντο, πολὺ θᾶττον ἐδίωκον τοὺς πολεμίους.* 2. *τέλος δὲ ταῦθ' ὡς ἥδιστ' ἂν ἐπ-αινοίην.* 3. *νῦν δὲ ἐὰν καλῶς πράξωμεν,*[3] *πολλῷ πλέον ἕξομεν κράτος.* 4. *ὑμεῖς δὲ εὖ παθόντες*[4] *ὑπ' αὐτοῦ δικαίως ἂν φύγοιτε τὴν*

[1] This use, and that of adjectives as cognate accusatives, illustrates the suitability of the accusative case of the adjective as the form of the adverb.

[2] What uses of the accusative have you now had ?

[3] *Fare.* Compare *How do you do ?*

[4] *πάσχω* is often used as the passive of *ποιέω* and as such takes the constructions of a passive verb.

ὁ κράτιστος

This charioteer, found at Delphi, marks a victory in the Pythian Games. It is the most famous work in bronze remaining from the best period of Greek art.

αὐτὴν φυγήν. 5. *ἀλλ' εἰ ὅτι μάλιστ' αὐτὸν ἐπαινοῖτε, οὐκ-έτι ἂν φίλους ὑμᾶς νομίζοι.* 6. *τούτου ἡγουμένου ῥᾴδιον ἔσται πάνυ ἀσφαλῶς πορεύεσθαι.* 7. *τὴν στρατιὰν μέντοι ἐγγὺς τοῦ ποταμοῦ εἶχεν, ἵνα μὴ ὄπισθεν γένοιντο οἱ πολέμιοι.* 8. *κρατήσαντες οὖν πολὺ προθυμότερον ἐπορεύοντο ἢ τὸ πρόσθεν.* 9. *καὶ τοῦτ' οὐχ ἥκιστα αἴτιον τῆς φυγῆς ἐγένετο.* 10. *οἱ γὰρ ἐκ τοῦ στόματος τὰ ὅπλα ῥίψαντες ἀνὰ κράτος*[1] *ἔφυγον.*

(*b*) Write in Greek:

1. As many as possible will be present. 2. These (persons) are much more cowardly than the Greeks. 3. His brother did not suspect that Cyrus was enlisting (*collecting*) as brave (men) as possible. 4. The mercenaries arrived a little later than we. 5. We must (*it is necessary*) have very swift triremes.

273. A SUPERLATIVE CHARACTER

Κῦρος μὲν οὖν οὕτως ἀπ-έθανεν, ὢν Περσῶν τῶν μετὰ Κῦρον τὸν ἀρχαῖον γενομένων βασιλικώτατός (compare **βασίλεια**) *τε καὶ ἄρχειν ἀξιώτατος. πρῶτον μὲν γὰρ ἔτι παῖς ὤν, ὅτε ἐπαιδεύετο* (compare PEDAGOGY) *καὶ σὺν τῷ ἀδελφῷ καὶ σὺν τοῖς ἄλλοις παισί, πάντων πάντα*[2] *κράτιστος ἐνομίζετο. πάντες γὰρ οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς βασιλικαῖς θύραις παιδεύονται. ἔνθα Κῦρος αἰδημονέστατος* (*respectful*) *μὲν πρῶτον τῶν παίδων ἐδόκει εἶναι, ἔπειτα δὲ φιλ-ιππότατος καὶ τοὺς ἵππους ἄριστα ἐλαύνειν. ἐνόμιζον δ' αὐτὸν καὶ τῶν εἰς τὸν πόλεμον ἔργων φιλο-μαθέστατον* (*interested in*) *εἶναι.*

Adapted from Xenophon, *Anabasis*, I. 9. 1–6.

---

[1] *ἀνὰ κράτος*, *at full speed*; *κατὰ κράτος* would mean *in accordance with their power*.

[2] **Accusative of respect**, showing the thing or things in respect to which *Κῦρος* was *κράτιστος*.

LESSON XLIV

CONSONANT DECLENSION

φιλαργυρία μητρόπολις πάντων τῶν κακῶν.
The love of money is the root of all evil.[1]

274. **Stems in ι, αυ, or ευ** present such irregularities in their inflection that detailed analysis is of little value. Learn the forms as given, noting for purposes of case recognition those forms that seem peculiar.

πόλις (ἡ) *city*		βασιλεύς (ὁ) *king*	
πόλις	πόλεις	βασιλεύς	βασιλεῖς
πόλεως	πόλεων	βασιλέως	βασιλέων
πόλει	πόλεσι(ν)	βασιλεῖ	βασιλεῦσι(ν)
πόλιν	πόλεις	βασιλέᾱ	βασιλέᾱς

ναῦς (ἡ) *ship*	
ναῦς	νῆες
νεώς	νεῶν
νηΐ	ναυσί(ν)
ναῦν	ναῦς

Like πόλις, inflect ἀνάβασις; like βασιλεύς, inflect ἱππεύς.

275. **Partitive Genitive.** (*a*) The genitive may denote the *whole*, of which a part is mentioned. It may be used with any word that expresses or implies a part. This use is called the *partitive genitive*:[2]

μέρος τῆς στρατιᾶς *part of the army.*

(*b*) Any verb whose action affects the object *only in part* may take the genitive. This is true especially of verbs

[1] Diogenes, as quoted by Diogenes Laertius, VI. 50.
[2] What uses of the genitive have you now had?

meaning *share*, *take hold of*, *hit*, *miss*, *begin*, *hear*, and the like:

ἔλαβε τῆς στρατιᾶς *he took (part) of the army;*
ἦρχε τοῦ λόγου *he began his speech;*
ἤκουσαν τῆς σάλπιγγος *they heard the trumpet.*

276. Prepositions. (*a*) Prepositions at first were adverbs and in classic Greek they still occasionally retain that function. Usually they show adverbial force when used as prefixes to compound verbs. Often the preposition with the proper case is repeated in connection with the compound verb.

(*b*) Prepositions thus compounded sometimes have their literal meaning:

εἰσ-πίπτει εἰς τὴν ναῦν *he rushes (falls) into the ship;*
ἀπο-φεύγει *he flees away.*

Again, they often have a more or less figurative force:

αὐτὸν ἐκ-πλήττουσι *they strike him out* (of his senses), *they astound him;* δια-φθείρει *he destroys th⟨o⟩rough⟨ly⟩.*

(*c*) You will not find in the lesson vocabularies of this book all the compound verbs used in the Greek sentences or passages. A little ingenuity will usually suggest the proper meaning of an unfamiliar compound.

277. VOCABULARY

ἀνά-βασις, -εως, ἡ: *a going-up* (from the sea), *inland march.* ANABASIS. See § 280.

βασιλεύς, -έως, ὁ: *king.* Cf. **βασίλεια.** BASIL.

βασιλεύω, -σω, -σα: *be king*: aor., *became king.*

βοη-θέω, βοηθήσω, ἐβοήθησα: with D., *run to aid* (at a shout for help), *assist.*

θέω, θεύσομαι[1]: *run.*

ἱππεύς, -έως, ὁ: *horseman, knight.*

ναῦς, νεώς, ἡ: *ship.* NAUSEA.

πίπτω, πεσοῦμαι, ἔπεσον: *fall.*

πλήττω, πλήξω, ἔπληξα: *strike.* APOPLEXY ("stroke").

πόλις, -εως, ἡ: *city, state.* Cf. **πολίτης.** POLITICAL.

στενός, -ή, -όν: *narrow.* STENOGRAPHIC.

[1] Other forms are supplied by other verbs.

278. EXERCISES

(*a*) Translate:

1. ἀλλ' οὐκ ἔστι τοῖς φίλοις βοη-θεῖν. 2. πολλοὶ τῶν ἱππέων ἐξ-επλήττοντο, ὥστε ἀνὰ κράτος ἔθεον. 3. ἡ ἀνά-βασις ἦν ἐπὶ βασιλέα.[1] 4. αἱ δ' οὖν βασιλέως νῆες οὔπω ἤκουσιν. 5. καὶ οἱ βάρβαροι, ὅταν πρὸς μάχην ἔρχωνται, κραυγῇ θέουσιν. 6. εἰς δὲ τὴν ναῦν εἰσ-πεσόντες πάντας πλήξομεν. 7. καὶ μάλα ἡδέως ὁ ῥήτωρ ἦρχε τοῦ λόγου. 8. εἰ μὴ ἐν τῇ ἀνα-βάσει ἀπ-έθανεν ὁ Κῦρος, ἐβασίλευσεν ἄν; 9. ποῦ τῆς πόλεως ἦσθα ὅτε τῆς σάλπιγγος ἤκουσας; 10. πότερον ἐβασίλευε πολὺν χρόνον ἢ οὔ; 11. τὸ τούτου τοῦ ποταμοῦ στόμα ἦν στενώτερον, ὥστε ταῖς ναυσὶν ἄ-πορον εἶναι. 12. τῷ δ' ἀδελφῷ, βασιλεῖ ὄντι, ἤξουσι πολλοὶ ἐκ τῶν πόλεων ὡς βοηθήσοντες.

(*b*) Write in Greek:

1. Why did the triremes not flee more rapidly? 2. They fought a very hard battle. 3. When there was (*there being*) danger, we proceeded (by) the quickest road. 4. The captain arranged his company as well as possible. 5. They were very near to the camp before they perceived that the enemy were no longer in their rear.

279. A HEADSTRONG YOUTH

ἔτι δὲ παῖς ὢν ἔπαιζεν (*was playing*) ὁ Ἀλκιβιάδης ἀστραγάλοις (*dice*) ἐν ὁδῷ στενῇ, τῆς δὲ βολῆς (*throw*) καθ-ηκούσης εἰς αὐτὸν ἅμαξα ἐπ-ήρχετο. πρῶτον μὲν οὖν ἐκέλευε παύσασθαι τὸν τὴν ἅμαξαν ἄγοντα· ὑπ-έπιπτε γὰρ ἡ βολὴ τῇ παρ-όδῳ τῆς ἁμάξης. οὐ πειθομένου δ' ἐκείνου ἀλλ' ἐπ-άγοντος, οἱ μὲν ἄλλοι παῖδες ἔφευγον, ὁ δ' Ἀλκι-

[1] *βασιλεύς*, where it refers to the Great King of Persia, commonly omits the article.

βιάδης κατα-πεσὼν ἐπὶ στόμα πρὸ τοῦ ἵππου ἐκέλευεν οὕτως, εἰ βούλεται, δι-εξ-ελθεῖν, ὥστε ὁ μὲν ἄνθρωπος δείσας ἀν-έκρουσε (backed up) τὸν ἵππον, οἱ δὲ παρόντες τῷ πράγματι ἐξ-επλήττοντο καὶ σὺν κραυγῇ ἐβοήθησαν αὐτῷ.

Adapted from Plutarch, *Alcibiades*, II.

ἱππεὺς Ἀθηναῖος

This slab from the Parthenon Frieze portrays a member of the City Troop about to mount for the Panathenaic procession.

280. Word-formation. (*a*) The suffix **-σις**, both in Greek and in English, denotes a *name of an action*:

ἀναλύω *analyze*, **ἀνάλυσις** ANALYSIS;
σήπω *decay*, **σῆψις** *a decaying*, SEPSIS;
διαβαίνω *cross*, **διάβασις** *a crossing*;
ἀναβαίνω *go up* (or *inland*), **ἀνάβασις** *an inland march*, ANABASIS.

(*b*) The suffix **-ευς** denotes the *agent* or *doer of an action*:

γράφω *write*, **γραφεύς** *writer*;
ἵππος *horse*, **ἱππεύς** *horseman*;
βασιλεύω *be king*, **βασιλεύς** *king*.

LESSON XLV

SYNCOPATED NOUNS OF THE CONSONANT DECLENSION

ἄνδρες γὰρ πόλις, καὶ οὐ τείχη οὐδὲ νῆες ἀνδρῶν κεναί.
Men make a state, not walls nor empty ships.[1]

281. **Syncopated nouns** of the consonant declension drop **ε** of the stem in the genitive and dative singular and dative plural. *ἀνήρ* substitutes **δ** for **ε** except in the nominative.

πατήρ (ὁ) *father*		**μήτηρ** (ἡ) *mother*	
πατήρ	πατέρες	μήτηρ	μητέρες
πατρός	πατέρων	μητρός	μητέρων
πατρί	πατράσι(ν)	μητρί	μητράσι(ν)
πατέρα	πατέρας	μητέρα	μητέρας

ἀνήρ (ὁ) *man*

ἀνήρ	ἄνδρες
ἀνδρός	ἀνδρῶν
ἀνδρί	ἀνδράσι(ν)
ἄνδρα	ἄνδρας

282. **Possessive adjectives** are *ἐμός my* or *mine; σός your* or *yours* (singular); *ἡμέτερος our* or *ours; ὑμέτερος your* or *yours* (plural). They are formed from the stems of the personal pronouns and are declined like adjectives of the **ο-** and **α-**declensions. When these adjectives have the attributive position, they refer to a definite person or thing; used without the article, they refer to something indefinite:

ἡ ἐμὴ οἰκία my house, but *οἰκία ἐμή a house of mine.*

[1] Thucydides, VII. 77. 7.

283. VOCABULARY

ἀνήρ, ἀνδρός, ὁ: *man, husband.* PHILANDER, ANDREW (Ἀνδρέᾱς).

γέρων, -οντος, ὁ: *old man.*

ἐμός, -ή, -όν: *my, mine.* Cf. ἐγώ.

ἡμέτερος, -ᾱ, -ον: *our, ours.* Cf. ἡμεῖς.

κέρας, κέρᾱτος or κέρως,[1] τό: *horn, wing* (milit.). Lat. *cornu.* RHINOCEROS.

μήτηρ, μητρός, ἡ: *mother.* Lat. *mater.*

πατήρ, πατρός, ὁ: *father.* Lat. *pater.*

πῦρ, πυρός, το (sing. only): *fire.* PYROTECHNIC.

σός, -ή, -όν: *thy, thine, your* (sing.). Cf. σύ.

σῶμα, -ατος, τό: *body.* CHROMOSOME.

ὑμέτερος, -ᾱ, -ον: *your, yours* (pl.). Cf. ὑμεῖς.

284. EXERCISES

(*a*) Translate:

1. ἡ δὲ μήτηρ ἐφίλει Κῦρον μᾶλλον ἢ τὸν βασιλεύοντα Ἀρταξέρξην. 2. ἡ δὲ στρατιά μου οὕτως ἐτρέφετο. 3. τὸν δὲ γέροντα, πατέρα ὄντα αὐτοῦ, ἰσχῦρῶς ἐφίλει. 4. τούτῳ τῷ ἀνδρὶ συμ-βουλευσόμεθα, ἐπειδὰν εἰς τὴν ἐμὴν χώρᾱν ἀφ-ικώμεθα. 5. τοῦ δὲ πατρὸς κάλλιστα ἐπ-εμελεῖτο. 6. καὶ δὴ οἱ ἡμέτεροι πατέρες ἄνδρες ἀγαθοὶ γενόμενοι τὴν Ἑλλάδα ἔσωσαν ἡμῖν. 7. τοῦ δὲ δεξιοῦ κέρως[1] Κλέαρχος ἡγήσεται. 8. νυκτὸς γενομένης πρὸς τὸ πῦρ ἔθεον. 9. σώματα δ' ἔχομεν κρείττω τῶν ὑμετέρων. 10. εἰ μὴ ἥρπασαν τὰ ὅπλα τά τε ὑμέτερα καὶ τὰ ἡμέτερα, ἐδιώκομεν ἂν αὐτούς. 11. ἐν Θερμοπύλαις πάντες καὶ οὐχ ἥκιστα αὐτὸς βασιλεὺς ἦρον τοὺς Μήδους πολλοὺς μὲν ἀνθρώπους ὄντας, ὀλίγους δὲ ἄνδρας.

(*b*) Write in Greek:

1. I began my speech as follows. 2. Where in (*of*) the city were the horsemen? 3. We heard a shout when the horseman fell from his horse. 4. They will aid the king

[1] κέρας has a stem κερασ- as well as κερατ-. The σ drops out between two vowels, as in γένος (§ 234), and the vowels contract (§ 509, *e*).

with money, but not with ships. 5. Some of the Greek cities used to fight much with one another.

285. A FEARLESS STATESMAN

εἰ γὰρ ἔροιτό (*ask*) τις ὑμᾶς· Εἰρήνην (*peace*, compare IRENIC) ἄγετ', ὦ ἄνδρες Ἀθηναῖοι; Μὰ Δί' (*No, by Zeus*) οὐχ ἡμεῖς γ', εἴποιτ' ἄν, ἀλλὰ Φιλίππῳ πολεμοῦμεν. οὐκ ἐχειρο-τονεῖτε (*vote* or *elect*) δ' ἐξ ὑμῶν αὐτῶν δέκα ταξι-άρχους (τάξις = *division*) καὶ στρατηγοὺς καὶ φυλ-άρχους (φυλή = *tribe*) καὶ ἱππ-άρχους δύο; τί οὖν οὗτοι ποιοῦσιν; πλὴν ἑνὸς (*one*) ἀνδρός, ὃν ἂν[1] πέμψητ' ἐπὶ τὸν πόλεμον, οἱ λοιποὶ τὰς πομπὰς (*processions*) πέμπουσιν ὑμῖν μετὰ τῶν ἱερο-ποιῶν (ἱερά = *sacrifices*)· ὥσπερ γὰρ οἱ πλάττοντες (compare PLASTIC) τοὺς πηλίνους (*of clay*), εἰς τὴν ἀγορὰν χειρο τονεῖτε τοὺς ταξι-άρχους καὶ τοὺς φυλ-άρχους, οὐκ ἐπὶ τὸν πόλεμον.

DEMOSTHENES

Demosthenes, *First Philippic*, 25–26.

286. Demosthenes, the foremost orator of all time, achieved his greatest fame in his long struggle against Philip of Macedon and his yet more illustrious son, Alexander the Great. Although Demosthenes failed to repel the invader, it was not through lack of vision or courage or patriotic fervor, but because his countrymen were substituting private ease and gain for public honor. His *Philippics* mark the acme of oratorical ardor and unsparing vituperation. Cicero found them splendid models.

[1] Be sure you understand why ἄν and the subjunctive are used here.

LESSON XLVI

REVIEW

μελέτη τὸ πᾶν. — *Practice makes perfect.*[1]

287. ASSIGNMENTS

(*a*) Review vocabulary (§ 554), following the method indicated in § 27, *a*.

(*b*) Name and define the Greek words suggested by *plethora*, *eugenic*, *Hellenist*, *tachometer*, *program*, *megalomania*, *teleology*, *polyandry*, *hypercritical*, *aristocracy*, *cosmopolitan*, *pyrite*, *hysteron proteron*.

(*c*) Add ten other derivatives to this list.

(*d*) Ask your instructor to show you how these words developed: *surgeon*, *apoplexy*, *agony*, *Agonistes*, *pliocene*, *nausea*.

(*e*) What indication as to meaning is given by *-ography*, *-ology*, *-ize*, *-σις*, *-ευς*?

(*f*) What forms of *ταχύς* and *μέγας* occur with *τριήρη*, *ἀγώνων*, *νῆες*, *γένος*? what forms of *πολύς* and *πλείων*, with *ναῦν*, *λόχοι*, *ἡγεμόσι*, *ὄρη*?

(*g*) Give the accusative singular and dative plural of *Ἕλλην*, *μέρος*, *ἀνήρ*, *πατήρ*, *πόλις*; the dative singular and accusative plural of *μήτηρ*, *χείρ*, *εὖρος*, *βασιλεύς*, *ἡγεμών*.

(*h*) Compare *μέγας*, *ἀληθής*, *εὐδαίμων*, *κακός*, *αἰσχρός*, *ἡδέως*, *εὖ*, *μάλα*.

[1] Periander, as quoted by Diogenes Laertius, I. 99. Literally: *Practice (is) everything.*

288. EXERCISES

(*a*) Complete:

1. ἀπὸ τοῦ ὀρ— ἀνὰ κρατ— ἀπ-ῆλθον οἱ πολλοὶ τ— Ἕλλην—. 2. ἥττ— ἐγένετο ὁ παῖς τ— πατρ—. 3. πολλ— θαττ— εἰσιν αἱ τριηρ— ἡ τ— πλοι— (plural). 4. Κῦρος ἀξι—τατος ἦν βασιλεύειν. 5. τὸν ἀνδρ— ἐποίησαν ἡγεμον— τ— κερ— (singular). 6. ὡς ταχ— πάντες πλὴν τ— γερ— εἰσ-έπεσον εἰς τὴν ναῦν. 7. ταύτῃ τῇ νυκτ— ἡ στενὴ ὁδὸς ἦν ἀ-πορ—.

General View of Olympia

The Olympic victor's prize was only a wreath of wild olive leaves, but he felt it an ample reward for his years of arduous preparation.

(*b*) Write in Greek:

1. As many as possible of the captains will come on (*by*) the ships. 2. Your father learned this many days later than you. 3. He reported that that day the fire was terrible. 4. Since the men on the wall were very few, it would have been most shameful if the Greeks had not captured the city. 5. May you always treat your mother well!

LESSON XLVII

READING

οὐδὲ τεθνᾶσι θανόντες. — *Though dead, they are not dead.*[1]

289. VOCABULARY

ἀντί, prep. with G.: *instead of, for;* as prefix, *against.* ANTITHESIS.

ἀπο-κτείνω: [2,3] *kill off.*

βαίνω, βήσομαι: [2] *go.* ANABASIS.

βάλλω, ἔβαλον: [3] *throw, pelt;* εἰσ-βάλλω (milit.): *invade.* PROBLEM, BALLISTICS.

ἐλπίζω, ἐλπίσω, ἤλπισα: *expect, hope.* Cf. ἐλπίς.

ὑστεραῖος, -ᾱ, -ον: *later, following, second, next;* τῇ ὑστεραίᾳ (ἡμέρᾳ): *next day.* Cf. ὕστερος.

χωρίον, -ου, τό: *place, spot.* Dimin. of χώρᾱ.

290. THERMOPYLÆ

ἐπειδὴ ὁ Ξέρξης καὶ οἱ Μῆδοι[4] εἰσ-έβαλλον εἰς τὴν Ἑλλάδα, ὑπ-έμενον οἱ Ἕλληνες ἐν Θερμοπύλαις· τοῦτο τὸ χωρίον δί-οδον στενὴν παρ-έχει εἰς τὴν Ἑλλάδα. ἐστρατήγει δὲ Λεωνίδᾱς, βασιλεὺς ὢν τῶν Λακεδαιμονίων. ἐπεὶ δ' ἐγγὺς ἐγένετο ὁ Ξέρξης, προύπεμψεν (προ + πέμπω) ἱππέᾱ πευσόμενον ὅ τι ποιοῦσιν οἱ Ἕλληνες καὶ ὁπόσοι εἰσίν. οὗτος ἐθεώρησε (*viewed*, compare THEORY) τοὺς Λακεδαιμονίους τοὺς μὲν γυμναζομένους (compare GYMNASIUM) τοὺς δὲ τὰς κόμᾱς (*hair*) κτενιζομένους (*combing*). κοσμοῦνται (compare COSMETIC) γὰρ τὰς κεφαλάς, ὅταν κινδῡνεύειν μέλλωσιν.

μετὰ δὲ ταῦτα ὡς ἐπ-έπεσον τοῖς Ἕλλησιν οἱ Μῆδοι, πολλοὶ ἔπῑπτον. τῇ δὲ ὑστεραίᾳ πάλιν εἰσ-βαλόντες οὐκ

[1] Simonides.
[2] Aorist later.
[3] Future later.
[4] Μῆδοι = Persians.

ἄμεινον ἔπρᾶττον· τότε δὴ ἀ-ποροῦντος βασιλέως, Ἐφιάλτης Μηλιεὺς[1] ἀνὴρ ἀγγέλλει αὐτῷ ἀτραπὸν (*trail*) οὖσαν, ἣ διὰ τῶν ὀρέων εἰς τὸ ὄπισθεν τῶν Ἑλλήνων φέρει.

ὁ δὲ Λεωνίδᾱς πυθόμενος τοὺς βαρβάρους κατὰ ταύτην τὴν ἀτραπὸν δια-βαίνοντας τὰ ὄρη, τοὺς μὲν ἄλλους ἀπ-έπεμψεν, αὐτὸς δὲ καὶ τριακόσιοι (300) Σπαρτιᾶται ὑπ-έμενον. ταῦτα γὰρ ποιήσᾱς ἤλπιζε σώσειν τὴν Ἑλλάδα. εἶπε γὰρ ἡ Πυθίᾱ (Delphic Sibyl) ὅτι δέοι ἢ τὴν Λακεδαίμονα ἀπ-ολέσθαι (*perish*) ἢ τὸν βασιλέᾱ αὐτῶν. εἰσ-βαλλόντων οὖν τῶν βαρβάρων, πρῶτον μὲν ἀντ-είχον (intransitive) καὶ πολλοὺς ἀπ-έκτεινον, τέλος δὲ πάντες ἀπ-έθανον. ἐπὶ δὲ τῷ τάφῳ (compare EPITAPH) τοῦτο τὸ ἐπί-γραμμά ἐστιν·



IN MEMORY OF PLATÆA

Those who fell at Platæa would be immortal even without this tripod base and the brazen serpent that it once held to commemorate them.

ὦ ξεῖν',[2] ἀγγέλλειν[3] Λακεδαιμονίοις ὅτι τῇδε (*here*) κείμεθα (*lie*) τοῖς κείνων[4] ῥήμασι (*orders*) πειθόμενοι.[5]

Condensed from Herodotus, VII. 201–228.

---

[1] Μηλίς = Malis, a district in southern Thessaly.

[2] Dialectic for ξέν(ε), vocative of ξένος.

[3] Infinitive as imperative.

[4] Dialectic for ἐκείνων.

[5] Cicero has translated this in the first Tusculan, 101:

Dic, hospes, Spartae nos te hic vidisse iacentis
Dum sanctis patriae legibus obsequimur.

291. Thermopylæ, Salamis, Platæa! What a story they make! The bare facts, the very names, are inspiration; but the art, the sympathy, the grace of Herodotus have given them such a setting as no other three battles in human history have had. . . . "Most Homeric of men,' he has written an epic — the eternal epic of human freedom, never to be read without a deepening of our belief in man and his idealisms, and of our faith in the triumph of the highest.

T. R. Glover, *Herodotus*, page 254.

292. Word-formation. (*a*) Nouns that are formed from verb stems by adding **-ματ** (nominative **-μα**, English *-ma*) express the *result* or *effect* of an *action*. Their nominatives often pass directly into English; more often **α** is dropped:

δοκέω *seem best*, δόγ-μα DOGMA;
δράω *do (act)*, δρᾶ-μα *deed, action*, DRAMA;
γράφω *write*, γράμ-μα *thing written*, EPIGRAM;
ποιέω *make*, ποίη-μα POEM.

This ending when added to stems of verbs in **-ιζω** drops **α** in passing into English:

σχίζω *split*, σχίσ-μα SCHISM;
σοφίζομαι *act cleverly*, σόφισμα SOPHISM.

(*b*) Nouns that are formed from verb-stems by adding **-τηρ** or **-τωρ** denote the *agent* or *doer* of an *act*:

δο- *give*, δο-τήρ *giver*;
ῥε- *speak*, ῥή-τωρ *orator*, RHETOR;
σῴζω *save*, σω-τήρ *savior*.

LESSON XLVIII

IMPERATIVE ACTIVE [1]

ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής.
Both a goodly king and a stalwart warrior.[2]

293. **The imperative active** of ο-verbs in all tenses is uniform as to personal endings, with the exception of the second person singular. That form lacks an ending in the present and the second aorist.

PRESENT IMPERATIVE OF παύω *I stop*

παῦ-ε	παύ-ε-τε
παυ-έ-τω	παυ-ό-ντων

SECOND AORIST IMPERATIVE OF λείπω *I leave*

λίπ-ε [3]	λίπ-ε-τε
λιπ-έ-τω	λιπ-ό-ντων

FIRST AORIST IMPERATIVE OF παύω *I stop*

παῦ-σον	παύ-σα-τε
παυ-σά-τω	παυ-σά-ντων

PRESENT IMPERATIVE OF εἰμί *I am*

ἴσ-θι	ἔσ-τε
ἔσ-τω	ἔσ-των

[1] The perfect imperative active is not given in this lesson because of its great rarity.

[2] Homer, *Iliad*, III. 179. This was the favorite motto of Alexander the Great.

[3] A few second aorist imperatives accent the ultima of the second person singular: εἰπέ, ἐλθέ, εὑρέ, ἰδέ, λαβέ.

Inflect the present and aorist imperative active of πράττω and λαμβάνω.

Inflect the present imperative active of φιλέω, observing rules for contraction and accent (§ 127). Compare with paradigm (§ 534).

294. Uses of the Imperative. (*a*) The imperative denotes a *command*. The present imperative does not differ from the aorist imperative in *time*, all imperatives necessarily referring to the future. The difference is that to be found with the subjunctive (§ 176, *a*), the present denoting *continuance* or *repetition* (motion picture), the aorist *mere occurrence* (snapshot):

πρᾶττε *keep doing*, πρᾶξον *do*.

(*b*) μή and the *present imperative* or *aorist subjunctive* denote a *prohibition:*

μὴ βάλλετε *do not be continually throwing;*
μὴ βάλητε *do not throw.*

Note that the present (not aorist) imperative and the aorist (not present) subjunctive are used here.

(*c*) How is exhortation expressed? (§ 176, *a*)

295. VOCABULARY

ἀμφότερος, -ᾱ, -ον (rare in sing.): *both.*
ἐλευθερίᾱ, -ᾱς, ἡ: *freedom.* ELEUTHERISM.
ἐλεύθερος, -ᾱ, -ον: *free.*
ἕτερος, -ᾱ, -ον: *other* (of two); θάτερον = τὸ ἕτερον. HETERODOX.
Ζεύς, Διός,[1] ὁ: *Zeus.*
θαρρέω, -ήσω, -ησα: *have courage.*
μνῆμα, -ατος, τό: *memorial, monument.*
τείνω[2]: *stretch, reach.* Lat. *tenao.*
χρή, χ̔ῆν,[3] χρῇ,[4] χρείη, χρῆναι: *be necessary, fitting.*

[1] D. Διΐ; A. Δία.
[2] Future and aorist follow.
[3] Imperfect, seemingly for χρὴ ἦν.
[4] χρῇ = χρή + ι.

296. EXERCISES

(*a*) What clues do the portions in heavy type afford?

εἰπ έ	**εἶπ ε**	**κελ εῦσ ον**	**κέλ ευσ ον**	**ἰ ρπά σα τε**
ἔσ τω	**ἔ στε**	**ἐστ έ**	**λειπέ τω**	**ἁ ρπά σα τε**

(*b*) Translate:

1. *καὶ ὅτῳ ταῦτα δοκεῖ, λαβὼν τὰ ὅπλα ἐλθέτω εἰς τὸ πρόσθεν.* 2. *μὴ ἀπ-άγγελε τοὺς ἱππέας ὄντας ἐλαχίστους.* 3. *λέξον δ', ἔφη, καὶ σύ, ὦ Ξενοφῶν, ἃ*[1] *καὶ πρὸς ἡμᾶς.* 4. *μὴ ἐλπίσητε ἐμὲ χείρονα ἔσεσθαι περὶ ὑμᾶς ἢ ὑμᾶς περὶ ἐμέ.* 5. *θαρρεῖτε δὲ πρὸς τὴν ἀνά-βασιν.* 6. *πρὸς δὲ τοὺς ἱππέας ἔφη, Ἄνδρες ἀγαθοὶ ἔστε, ἵνα ἄξιοι γένησθε τῆς ἐλευθερίας.* 7. *τῶν δὲ ἀμφοτέρων θᾶτερον χρὴ ποιεῖν, ἢ ἕπεσθαί μοι ἢ μηκέτι νομίζειν με στρατηγὸν εἶναι.* 8. *ἀλλὰ μὴ ἐπ-αινέσῃς τοὺς αἰσχροὺς ῥήτορας.* 9. *ἀνα-τείνετε τὴν χεῖρα, εἰ ἐπ-αινεῖτε.*

297. SALAMIS

The battle of Salamis was the greatest sea fight in which the Greeks ever engaged. It marked the culmination of patriotic devotion on the part of Athens. Æschylus, in his play *The Persians*, gives a graphic description of the fight. The city had been abandoned to the invader. The old men, women, and children had been removed to places of safety, and the fighting men were with the fleet.

ὦ παῖδες **Ἑλλήνων** *ἴτε* (*go*),
ἐλευθεροῦτε (compare **ἐλεύθερος**) *πατρίδ', ἐλευθεροῦτε δὲ παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη* (*seats*),
θήκᾶς (*tombs*) *τε προ-γόνων* (compare **γίγνομαι**) · *νῦν ὑπὲρ πάντων ἀγών.*

Æschylus, *Persæ*, 402–5.

[1] Supply the proper form of **λέγω**.

298. POET AND PATRIOT

The epitaph of that same Æschylus, written by himself, is notable in that it contains no word of his supreme genius as a dramatist, but dwells wholly on his valor at Marathon.

Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει
μνῆμα κατα-φθίμενον πυροφόροιο Γέλας·
Ἀλκὴν δ' εὐ δόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι
καὶ βαθυ-χαιτήεις Μῆδος ἐπιστάμενος.

F. G. Allinson thus translates the lines:

Æschylus, son of Euphorion, here an Athenian lieth,
Wheatfields of Gela his tomb waving around and above;
Marathon's glebe-land could tell you the tale of his valor approvèd,
Aye and the long-haired Mede knew of it, knew of it well.

299. "DRINK TO ME ONLY"

Εἰμὶ μὲν οὐ φιλό-οινος· ὅταν δ' ἐθέλῃς με μεθύσσαι (*make drunk*)
πρῶτα σὺ γευομένη (*tasting*) πρόσ-φερε καὶ δέχομαι·
Εἰ γὰρ ἐπι-ψαύσεις (*touch*) τοῖς χείλεσιν (*lips*), οὐκέτι νήφειν (*be sober*)
εὐμαρές (*easy*), οὐδὲ φυγεῖν τὸν γλυκὺν (*sweet*) οἰνο-χόον (χέω = *pour*).
Πορθμεύει (*brings*) γὰρ ἔμοιγε κύλιξ (*cup*) παρὰ σοῦ τὸ φίλημα,
καί μοι ἀπ-αγγέλλει τὴν χάριν ἣν ἔλαβεν.

This six-line poem of an obscure poet in the Greek Anthology was the inspiration of Ben Jonson's famous *Drink to me only with thine eyes.* Compare the two.

The Entrance to the Stadium at Olympia.

LESSON XLIX

IMPERATIVE MIDDLE AND PASSIVE[1]

οὐδὲν γλύκιον ἧς πατρίδος. — *Naught is sweeter than one's native land.*[2]

300. The imperative middle and passive has an entirely regular formation in the present tense, the σ of the second person singular, as usual, dropping out between two vowels, which then contract.

PRESENT IMPERATIVE MIDDLE AND PASSIVE OF **παύω** *I stop*

(παύ-ε-σο) παύ-ου	παύ-ε-σθε
παυ-έ-σθω	παυ-έ-σθων

Inflect the present imperative middle and passive of φιλέω, observing the rules for contraction and accent (§ 127). Compare with paradigm (§ 534).

301. The second aorist imperative middle has the same endings as the present, except that it has a circumflex on the ultima in the second person singular.

SECOND AORIST IMPERATIVE MIDDLE OF **λείπω** *I leave*

(λιπ-έ-σο) λιπ-οῦ	λίπ-ε-σθε
λιπ-έ-σθω	λιπ-έ-σθων

302. The first aorist imperative middle has a peculiar ending in the second person singular, as did the same form of the first aorist imperative active.

[1] The perfect imperative middle and passive is not given because of its great rarity.

[2] Homer, *Odyssey*, IX. 34.

First Aorist Imperative Middle of παύω

παῦ-σ αι [1]	παύ-σα-σθε
παυ-σά-σθω	παυ-σά-σθων

Inflect the present and aorist imperatives of *μετα-πέμπομαι* and *ἀφ-ικνέομαι*.

303. VOCABULARY

ἀλλάττω, ἀλλάξω, ἤλλαξα: *change*. PARALLAX, HYPALLAGE.
ἄνω, adv.: *up*. Cf. **ἀνά**.
αὖ, adv.: *again, on the other hand*.
ἐκεῖ, adv.: *there*.
ἔνθα, adv.: *there, then, where* (rel.).
ἤδη, adv.: *now, already*.
μέσος, -η, -ον: *middle*; *τὸ μέσον*: *the middle*. MESOPOTAMIA.
στράτευμα, -ατος, τό: *army*. Cf. **στρατεύω**.
στρέφω, στρέψω, ἔστρεψα: *turn*. STREPTOCOCCUS, STROPHE.

304. EXERCISES

(*a*) What clues are afforded by the portions in heavy type?

λείπ ου ἐ λείπ ου λιπ οῦ ἐ λίπ ου κωλ ῦσαι κ ώλῦσαι κελευέ σθω κελευσά σθων κελεύ σασθε ἐ κελεύ σασθε

(*b*) Translate:

1. *καὶ νῦν, ἔφη, μὴ μέλλωμεν, ὦ ἄνδρες, ἀλλ᾽ ἀπ-ελθόντες ἤδη αἱρεῖσθε οἱ δεόμενοι ἄρχοντας, καὶ ἑλόμενοι ἥκετε εἰς τὸ μέσον τοῦ στρατοπέδου.* 2. *ἀλλά, εἰ βούλει, μένε ἐπὶ τῷ στρατεύματι, ἐγὼ δὲ πορεύσομαι· εἰ δὲ βούλει, σὺ μὲν πορεύου ἐπὶ τὸ ὄρος, ἐγὼ δ᾽ ἐθέλω μένειν.* 3. *ἀνα-στρεψάμενοι δὲ αὖ ἀπ-αλλάττεσθε ἀπὸ τούτου τοῦ χωρίου.* 4. *φύλαξαι δὲ μὴ κακίων δοκῇς τοῦ γέροντος.* 5. *μὴ ἕλησθε τὰ ἐκεῖ μᾶλλον ἢ τὰ παρ᾽ ἐμοί.* 6. *ἵνα δὲ πύθῃ περὶ τῶν ἄνω, μετά-πεμψαι τὸν πιστὸν ἡγεμόνα.*

[1] A verb of three syllables has an accent on the antepenult in the second person singular, first aorist imperative middle: *κέλευσαι*. It must be carefully distinguished from *κελεῦσαι*, first aorist infinitive active, and from *κελεύσαι*, third person singular, first aorist optative active, which, however, is usually replaced by *κελεύσειε*.

(*c*) Write in Greek:

1. Do not rush (*fall*) into the ships. 2. If they wish to be free, let them be as brave as possible. 3. Let the old men do whatever seems best. 4. Let us take (*having*) courage (and) be worthy of our freedom. 5. Do not expect that the ships will aid any longer.

305. PRO PATRIA

Spartan has always been synonymous with the simplicity, hardihood, and devotion that characterize the true soldier.

"HOLLOW LACEDÆMON"

The lovely valley of Sparta needed no defense except its valiant soldiers.

Far inferior in number to their neighbors, many of whom they had reduced to serfdom, the Spartans were forced to maintain their status by threat of arms. They entered military school at an early age and their best years were spent in barracks or on campaign. Such an environment discouraged individualism and fostered patriotism. Their literature consisted chiefly of choral songs suited to the mess-hall or the campfire, or to religious gatherings.[1]

[1] An interesting picture of Spartan life is given in *The Coward of Thermopylæ* by C. D. Snedeker.

We hear of but few poets at Sparta. The best known, Tyrtæus, is said to have been a lame schoolmaster sent by the Athenians in a spirit of mockery. If the poet was really lame, his verses were not, and he succeeded remarkably well in giving expression to the ideals peculiar to the people among whom he dwelt. Two of his poems follow.

(The Attic equivalents of dialectic forms are indicated wherever necessary.)

I

τεθνάμεναι (*to die*) γὰρ καλὸν ἐν[ι] προ-μάχοισ[ι] πεσόντα
ἄνδρ' ἀγαθὸν περὶ ᾗ (*his*) πατρίδι μαρνάμενον (*fighting*).

. . . . . .

θῡμῷ γῆς περὶ τῆσδε μαχώμεθα καὶ περὶ παίδων
θνήσκωμεν ψῡχέων (ψῡχῶν) μηκέτι φειδόμενοι (*sparing*).
ὦ νέοι, ἀλλὰ[1] μάχεσθε παρ' ἀλλήλοισ[ι] μένοντες,
μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον (*valiant*) ἐν φρεσὶ (*breast*) θῡμόν,
μηδὲ φιλο-ψῡχεῖτ' ἀνδράσι μαρνάμενοι.

II

The stirring march-song that follows breathes pride of race and interest in military traditions. (Ask your instructor to read you these lively anapæsts.)

ἄγετ' (*up*), ὦ Σπάρτᾱς (-ης) εὐάνδρω (-ου)
κῶροι (*scions*) πατέρων πολιᾱτᾶν (πολῑτῶν)
λαιᾷ (*left hand*) μὲν ἴτυν (*shield*) προ-βάλεσθε,
δόρυ δ' εὐτόλμως (*courageously*) ἄν-σχεσθε
μὴ φειδόμενοι τᾶς (τῆς) ζωᾶς (compare ZOÖLOGY)·
οὐ γὰρ πάτριον (*customary*) τᾷ (τῇ) Σπάρτᾳ.

[1] Used with the imperative to give force and liveliness.

LESSON L

FUTURE OF LIQUID VERBS

μὴ κρίνετε ἵνα μὴ κριθῆτε. — *Judge not that ye be not judged.*[1]

306. Verbs whose stem ends in a liquid (λ, μ, ν, ρ) add **εσ** to form the future active and middle. The σ, as usual, drops out between two vowels, which then contract:

φαίνω, φανέ(σ)ω, φανῶ.

The future of such verbs is inflected in the same way as the present of *φιλέω*.

Inflect the future indicative, optative, infinitive, and participle active and middle of *φαίνω*. Compare with paradigm (§ 529).

307. Verbs in **-ιζω** that have more than two syllables form their future in **-ιεω** and are inflected like *φαίνω*:

νομίζω ; *νομιέω* : *νομιῶ, νομιεῖς, νομιεῖ, κ.τ.λ.*

Similar forms appear in the future of a few other verbs which drop the σ between two vowels and contract the vowels:

καλέ(σ)ω : *καλῶ, καλεῖς, καλεῖ, κ.τ.λ.* ;
μαχέ(σ)ομαι : *μαχοῦμαι, μαχεῖ, μαχεῖται, κ.τ.λ.*

Consult the general vocabulary for the future of the following verbs which have already been studied:

ἀγγέλλω, ἀπο-κτείνω, βάλλω, θνῄσκω, μένω, πίπτω, πορίζω, τείνω.

[1] St. Matthew, VII. 2.

308. Object Clauses. After a verb of *striving, caring for,* or *effecting,* ὅπως and the *future indicative* supply the object :[1]

βουλεύεται ὅπως αὐτοὺς πείσει *he is planning how to persuade them.*

The negative is μή.

309. VOCABULARY

ἀπο-κρίνομαι, -οῦμαι[2] : *reply.*
ἀρετή, -ῆς, ἡ : *fitness, excellence, bravery, virtue.* Cf. ἄριστος. Cf. Lat. *virtus.*
γῆ,[3] γῆς, ἡ : *land, soil.* GEOLOGY.
κρίνω, κρινῶ[2] : *pick out, judge, decide.* CRISIS, CRITIC.
σκέπτομαι, σκέψομαι, ἐσκεψάμην[4] : *look to see, inquire, consider.* SCEPTIC.
σκοπέω[5] : *look to see, inquire, consider.* MICROSCOPE, PERISCOPE.
φαίνω, φανῶ[2] : *shed light, show;* mid. and pass., *appear.* PHENOMENON.
φανερός, -ά, -όν : *visible, apparent, evident.* PHANEROGAM.

310. EXERCISES

(*a*) Translate :

1. πρὸς ταῦτα ἀπο-κρινούμεθα, ἐπειδὰν ἥκῃ τις ἀγγελῶν τὰ περὶ τῆς μάχης. 2. ἀλλὰ τοῦτο δεῖ σκοπεῖν, ὅπως μὴ τὴν ἀρετὴν ἀπο-βαλεῖτε ἣν ἐλάβετε παρὰ τῶν πατέρων ὑμῶν. 3. παρα-σκευασόμεθα δ' ὅπως ταύτης τῆς γῆς φανούμεθα ἄξιοι εἶναι. 4. τῶν δὲ φίλων ἐπι-μελοῦμαι, ὅπως τὰ ἐμὰ μᾶλλον ἢ τὰ παρὰ βασιλεῖ ἕλωνται. 5. ὑμᾶς δὲ κρίνω πολλοῦ[6] ἀξίους εἶναι. 6. σκέψεται δ' ὅπως ἄνδρας ὅτι ἀρίστους λήψεται. 7. δεῖ δ' ἡμᾶς ἐπι-μελεῖσθαι ὅπως ἄξιοι εἶναι φανούμεθα ταύτης τῆς ἐλευθερίας. 8. οὐ γὰρ

[1] This happens even after secondary tenses.
[2] For the aorist of this verb, see § 313.
[3] Contract noun : hence ῆ in all forms.
[4] Rare in present and imperfect, in which tenses σκοπέω is used.
[5] Present and imperfect only.
[6] Genitive of value.

τούς γ' ἐλευθέρους ἀπο κτενεῖτε, μὴ φανερὸι γένησθε κακοὶ ὄντες.[1]

(*b*) Complete:

1. ταῦτα μέλλει ἀγγελ-- ἐπὰν πρὸς βασιλ— ἀφ-ικ—ται. 2. Κῦρον γὰρ χρὴ ἐπι-μελ—σθαι ὅπως τὰ δίκαια ἀποκριν—ται. 3. σκοπ—ντων ὅπως ἀμείνους φαν—νται ἢ πολλ— βαρβαρ—.

(*c*) Write in Greek:

1. Let him remain in charge of the van. 2. Proceed along the mountain when you find those who are in difficulty. 3. Do not depart from (*ἀπ-αλλάττομαι*) that spot unless some faithful man is there present. 4. Let them be on their guard that the horsemen do not again get (*γίγνομαι*) in their rear.

311. THE ALMIGHTY DOLLAR

ὁ μὲν Ἐπίχαρμος τοὺς θεοὺς εἶναι λέγει
ἀνέμους (*winds*), ὕδωρ, γῆν, ἥλιον (*sun*), πῦρ, ἀστέρας (*stars*).
ἐγὼ δ' ὑπ-έλαβον (*supposed*) χρησίμους (*useful*) εἶναι θεοὺς
τἀργύριον[2] ἡμῖν καὶ τὸ χρῦσίον.
ἱδρῦσάμενος (*installing*) τούτους γὰρ εἰς τὴν οἰκίαν
εὖξαι (imperative)· τί βούλει; πάντα σοι γενήσεται,
ἀγρός (*land*), οἰκίαι, θεράποντες (*servants*), ἀργυρώματα,
φίλοι, δικασταί (*judges*), μάρτυρες (*witnesses*). μόνον δίδου
(*give*, imperative)·
αὐτοὺς γὰρ ἕξεις τοὺς θεοὺς ὑπ-ηρέτᾶς (*slaves*).

Menander, fragment

Supply the nominative singular for as many of the nouns as you can. What English derivatives are suggested?

---

[1] § 214.

[2] An instance of crasis, similar to elision. Two words are *mixed*, i.e., *fused* into one: ὁ ἀνήρ often becomes ἀνήρ.

312. PERSIAN TREACHERY

ἐπεὶ δὲ ἦσαν ἐπὶ ταῖς θύραις ταῖς Τισσαφέρνους, οἱ μὲν στρατηγοὶ παρ-εκλήθησαν (*were summoned*) εἴσω. οἱ δὲ λοχαγοὶ ἐπὶ ταῖς θύραις ἔμενον. οὐ πολλῷ δὲ ὕστερον ἀπὸ τοῦ αὐτοῦ σημείου (*signal*, compare SEMAPHORE) οἵ τ' ἔνδον (*within*) συν-ελαμβάνοντο καὶ οἱ ἔξω (compare ἐκ) κατ-

Ewing Galloway.

ACROCORINTH

Behind these columns of Apollo's temple looms the rugged citadel from whose lofty summit the Corinthians often spied the approach of trader and pirate.

-εκόπησαν (*were slain*). μετὰ δὲ ταῦτα τῶν βαρβάρων τινὲς ἱππέων διὰ τοῦ πεδίου ἐλαύνοντες ᾧ τινι ἐν-τυγχάνοιεν (*met*) Ἕλληνι πάντας ἔκτεινον. οἱ δὲ Ἕλληνες τὸ πρᾶγμα ἐθαύμαζον ἐκ τοῦ στρατοπέδου ὁρῶντες (*seeing*). ἐκ τούτου δὴ οἱ Ἕλληνες ἔθεον ἐπὶ τὰ ὅπλα πάντες ἐκ-πεπληγμένοι (*frightened*) καὶ νομίζοντες αὐτίκα (*immediately*) ἥξειν αὐτοὺς ἐπὶ τὸ στρατόπεδον.

Adapted from Xenophon, *Anabasis*, II. 5. 31–34.

LESSON LI

AORIST OF LIQUIDS

καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος. — *Everything in season.*[1]

313. The Aorist of Liquids. Verbs with stems ending in a liquid (§ 306) form the first aorist by lengthening their stem vowel and adding **α**. **α** lengthens to **η** (after **ι** or **ρ** to **ᾱ**), **ε** to **ει**, **ι** to **ῑ**, **υ** to **ῡ**:

φαίνω (stem φαν-), ἔφηνα; ἀγγέλλω (stem ἀγγελ-), ἤγγειλα.

In other respects these aorists resemble ἔπαυσα.

Inflect the aorist indicative, subjunctive, optative, imperative, infinitive, and participle active and middle of φαίνω. Compare with paradigm (§ 529).

314. Object Clauses after Verbs of Fearing. (*a*) After a verb of fearing in a *primary* tense μή *lest* and the *subjunctive* state the *object* of fear:

φοβεῖται μὴ κακὰ πάθῃ *he fears lest he may suffer harm.*

The negative form is μὴ οὐ *lest not.*

(*b*) After a *secondary* tense the *optative* may occur:

ἐφοβεῖτο μὴ κακὰ πάθοι *he was afraid that he might suffer harm.*

A subjunctive after a secondary tense emphasizes the object of fear.[2]

---

[1] Hesiod, *Works and Days*, 694. Literally: (*There is*) *a best moment for everything.*

[2] Compare § 192, *b* and note.

315. VOCABULARY

ἄκρος, -ᾱ, -ον: *top of; the top.* ACROPOLIS, AKRON.

εἴθε, conj.: *O if, would that, if only.*

εἰρήνη, -ης, ἡ: *peace.* IRENIC.

καιρός, -οῦ, ὁ: *fitting moment, opportunity.*

μανθάνω, μαθήσομαι, ἔμαθον: *learn, understand.* POLYMATH.

μέλει, μελήσει, ἐμέλησε: *is a care, concerns.* Used impersonally.

ὀφείλω, ὀφειλήσω, ὠφείλησα: *owe.*

τέμνω, τεμῶ, ἔτεμον or ἔταμον: *cut.* ANATOMY.

τρέχω, δραμοῦμαι, ἔδραμον: *run,* TROCHAIC. Cf. **δρόμος**.

φοβέομαι, φοβήσομαι:[1] *fear.* Cf. **φόβος**.

χαλεπαίνω, -ανῶ, -ηνα: *be severe, angry.* Cf. **χαλεπός**.

316. EXERCISES

(*a*) Translate:

1. ἐμοὶ δὲ μελήσει ὅπως ἐν καιρῷ ἀφ-ιξόμεθα. 2. φοβεῖται μὴ οὐχ οἱ ἐκ τοῦ δεξιοῦ κέρᾱτος δράμωσιν ἐπὶ τὸ ἄκρον. 3. οὐκ ἔστι ῥᾴδιον τὴν σὴν βουλὴν μαθεῖν. 4. ἐφοβούμεθα μὴ ὁ λόχος χαλεπήνειεν ἡμῖν. 5. εἴθε ἐπ-αινοῖεν τὸν θῡμὸν τὸν τῆς βασιλείᾱς. 6. τοῦ δὲ Κύρου βασιλεὺς τήν τε κεφαλὴν καὶ τὰς χεῖρας ἀπ-έτεμεν. 7. τῆς νυκτὸς ἡμῖν ἦν φόβος μὴ μάθοιεν ὅπου ἐστὶ τὸ χρῡσίον. 8. ὥρᾱ ὑμῖν σκοπεῖν πότερον ἐμοὶ ἕψεσθε ἢ οὔ. 9. καὶ ἔμελλον οἱ κράτιστοι δραμεῖσθαι κατὰ τῶν ὀρῶν.

(*b*) Complete:

1. φοβοῦμαι μὴ ὁ ἀνὴρ χαλεπην—, ἐπειδὰν αἰσθαν— τὴν οἰκίᾱν διαρπαζο—. 2. σκοπεῖσθε ὅπως τὸ πρᾶγμα μαθ—, πρὶν ἐκεῖ ἐλθ—. 3. ἡμ— ἦν φόβος μὴ οὐχ οἱ παῖδες τοὺς ἀπο-θαν— εὖ λεγ—.

(*c*) Write in Greek:

1. This orator appears (to be) inferior in wisdom. 2. Look to it that you are worthy of your freedom. 3. They reply

[1] Aorist follows.

at once, that they may not seem to lack bravery. 4. You must see to it that the men in the city decide this. 5. The commander is planning how he will turn their right wing.



"Sermons in Stones"

This bit of the Acropolis wall is a tribute to the energy of Themistocles. In his zeal to fortify Athens before the interference of other Greek states, he had column drums and any other available architectural pieces used.

317. **POOR SERIPHOS!**

The point of the following anecdote, one of many contained in Plutarch's *Life of Themistocles*, lies in the fact that Seriphos is an insignificant little island. All countries seem to have their joke-towns.

τοῦ δὲ Σερῑφίου πρὸς Θεμιστοκλέᾱ εἰπόντος, ὡς οὐ δι' αὑτὸν ἔχοι δόξαν (*fame*) ἀλλὰ διὰ τὴν πόλιν, Ἀληθῆ λέγεις, εἶπεν, ἀλλ' οὔτ' ἂν ἐγὼ Σερίφιος ὢν ἐγενόμην ἔν-δοξος οὔτε σὺ Ἀθηναῖος. Plutarch, *Themistocles*, XVIII. 3.

318. SANG FROID

Hermes presents his bill to Charon.

ΧΑΡ. Νῦν μέν, ὦ Ἑρμῆ, ἀ-δύνατον[1] (*impossible*, that is, *to pay*), ἢν δὲ λοιμός (*pestilence*) τις ἢ πόλεμος κατα-πεμψῃ πολλούς, ἐν-έσται τότε ἀπο-κερδᾶναί τι (*make some profit*) ἀπὸ τῶν πορθμείων (*ferry charges*).

ΕΡΜ. Νῦν οὖν ἐγὼ καθ-εδοῦμαι (*will sit down*) τὰ κάκιστα εὐχόμενος γενέσθαι, ὡς ἀπὸ τούτων τὰ ὀφειλόμενα ἀπο-λάβοιμι.

ΧΑΡ. Οὐκ ἔστιν ἄλλως, ὦ Ἑρμῆ. νῦν δὲ ὀλίγοι, μανθάνεις, ἀφ-ικνοῦνται ἡμῖν· εἰρήνη γάρ.[1]

ΕΡΜ. Ἄμεινον[1] οὕτως, εἰ καὶ ἡμῖν παρα-τείνοιτο (*be extended*) ὑπὸ σοῦ τὸ ὄφλημα (compare ὀφείλω). ἀλλ' οἱ μὲν παλαιοί (compare PALÆONTOLOGY), ὦ Χάρων, ἦκον ἀνδρεῖοι ἅπαντες, αἵματος (compare HEMORRHAGE) μεστοὶ καὶ τραυματίαι ("*casualties*") οἱ πολλοί· νῦν δὲ ἢ φαρμάκῳ (compare PHARMACIST) τις ὑπὸ τοῦ παιδὸς ἀπο-θανὼν[2] ἢ ὑπὸ τῆς γυναικός, ὠχροὶ (*pale*, compare OCHER) ἅπαντες καὶ ἀ-γεννεῖς (*ignoble*), οὐχ ὅμοιοι (compare HOMOLOGOUS) ἐκείνοις. οἱ δὲ πλεῖστοι αὐτῶν διὰ χρήματα ἥκουσιν.

ΧΑΡ. Πάνυ γὰρ περι-μάχητά ἐστι ταῦτα.

ΕΡΜ. Δικαίως ἂν οὖν ἐγὼ ἀπ-αιτοίην τὰ ὀφειλόμενα παρὰ σοῦ.

Adapted from Lucian, *Dialogues of the Dead*, 4.

---

[1] Supply *ἐστι*.

[2] *ἀπο-θνῄσκω* is virtually a passive to *ἀπο-κτείνω*. Compare *ποιέω* and *πάσχω*.

LESSON LII

PERFECT ACTIVE[1]

εὕρηκα. — *I have it.*[2]

319. The Perfect Indicative. (*a*) The perfect denotes *completed* action with the effect of the action still continuing at the time of speaking or writing:

πέπαυκα *I have stopped (it)*, that is, *I have (it) stopped* at the present time.

(*b*) The perfect often stresses the *lasting result* with little or no reference to the act of completion. It is then usually translated by a present:

τέθνηκε *he is dead (he has passed away)*;
πέποιθα *I am confident, I trust.*

320. The pluperfect has a force which may be best explained by a mathematical formula:

pluperfect: perfect: : imperfect: present.

ἐπεπαύκη *I had stopped (it)*, ἐπεποίθη *I was confident.*

PERFECT INDICATIVE OF παύω

πέ-παυ-κα	πε-παύ-κα-μεν
πέ-παυ-κα-ς	πε-παύ-κα-τε
πέ-παυ-κε(ν)	πε-παύ-κᾶσι(ν)

PLUPERFECT INDICATIVE OF παύω

ἐ-πε-παύ-κη	ἐ-πε-παύ-κε-μεν
ἐ-πε-παύ-κη-ς	ἐ-πε-παύ-κε-τε
ἐ-πε-παύ-κει	ἐ-πε-παύ-κε-σαν

PERFECT INFINITIVE πε-παυ-κέ-ναι

PERFECT PARTICIPLE πε-παυ-κώς, -κυῖα, -κός

[1] The perfect subjunctive, optative, and imperative occur infrequently and are, moreover, so easily recognized that detailed study is not asked for. If desired, they may be found in the *Grammatical Appendix* and learned.

[2] Archimedes. Motto of the state of California. Literally: *I have found.*

321. Reduplication is the sign of the perfect, whether active, middle, or passive, and is found in every perfect. It has different forms:

(*a*) Verbs beginning with a single consonant prefix this consonant and ε to the stem:

παύω, πέπαυκα.

φ is represented by π, θ by τ, χ by κ:

φαίνω, πέφηνα; θνήσκω, τέθνηκα.

